ΚΕΦΑΛΑΙΟΝ ΙΘ.

Ἐν τίνι χρόνῳ ἠυδόκησεν ὁ ἐλεήμων Θεὸς, ἀποστεῖλαι εἰς τὸν Κόσμον, τὸν Υἱὸν αὐτοῦ.

Ἐν ποίᾳ Μοναρχίᾳ ἐγεννήθη ὁ Κύριος Ἰησοῦς Χριστός.

§. ι.

Μετὰ τὸ παρελθεῖν τὴν πρώτην ἐπὶ γῆς, Μοναρχίαν τῶν Ἀσσυρίων, ἥτις ἐκράτησε κατὰ τὸν Σικελιώτην Διόδωρον, ἔτη αξ΄. μέχρι δηλαδὴ τῆς καταστροφῆς τοῦ Σαρδαναπάλου, ἔτι καὶ δευτέραν τῶν Περσῶν, τὴν ἐν ἔτεσι περίπου τ΄. ὑπάρξασαν, μέχρι Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅστις τρίτην Μοναρχίαν ἔδειξεν εἰς τὸν Κόσμον, τὴν τῶν Ἑλλήνων δηλαδὴ ἐν ἔτεσι τ΄. διαμείνασαν, μέχρι τῆς τοῦ Αὐγούστου Μοναρχίας, ἀπὸ τὸν ὁποῖον τελείως καὶ ἠφανίσθη, ἠυδόκησεν ὁ Ἐλεήμων Θεὸς, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐπὶ τῆς τετάρτης Μοναρχίας τῶν Ῥωμαίων Ὀκταβίου τοῦ Αὐγούστου μοναρχοῦντος, ἐξαποστεῖλαι τὸν Υἱὸν αὐτοῦ, Σωτῆρα, καὶ Λυτρωτὴν, τῷ γένει τῶν ἀνθρώπων, ἐν ἔτει ἀπὸ κτίσεως κόσμου, κατὰ τὴν κοινοτέραν γνώμην ερή. πρὸ ἐτῶν δηλαδὴ ἀπὸ τοῦ νῦν τρέχοντος ͵αψδ΄ (α), καὶ κατελθόντα ἐν μήτρᾳ παρθενικῇ, σάρκα γεγονέναι, Λόγον ὄντα, καὶ ἐκ κόλπων πατρώων γεγεννημένον ἀχρόνως, καὶ ἀνάρχως, ὁμοούσιόν τε τῷ Πατρὶ, καὶ ἐδὲν παρὰ τὸν πατέρα ἠλλοιωμένον, ἀλλ' ἄτρεπτόν τε καὶ ἀναλλοίωτον, καὶ ὅλως ἀπαθῆ, παθόντα δὲ, ὡς ὑπὲρ τῆς ἡμῶν Σωτηρίας, ἃ διὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ διὰ τὴν αὐτῷ τῷ εὐεργέτῃ πρέπουσαν ἀγαθότητα, ἃ γὰρ ἐβάλετο διὰ σωλάγχνα ἐλέους, ὑπὸ τοῦ διαβόλου τυραννεῖσθαι τὸν ἄνθρωπον, ἀλλὰ βουλήσει τοῦ Πατρὸς, καὶ εὐδοκίᾳ τοῦ Ἁγίου Πνεύματος, ὁ πανταχοῦ παρὼν, καὶ μηδαμοῦ περιγραφόμενος, ἔκλινεν οὐρανοὺς δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν Σωτηρίαν, καὶ κατέβας, μηδ' ὅλως χωρισθεὶς τῶν οὐρανῶν, „ ὑπέδυ τὴν ἀνθρωπείαν μορ„ φὴν, καὶ τὴν ἀόρατον, τῇ ὁρωμένῃ κατεκάλυψε φύσιν, τὴν μὲν ὁρωμένην „ ἀναμάρτητον διαφυλάξας, τὴν δὲ κεκρυμμένην ἀκήρατον διατηρήσας, ὅτε „ γὰρ αὐτὴ τῶν τῆς σαρκὸς μετέλαχε παθημάτων, ἔτε ἡ σὰρξ ἦν προ„ σείληφε τῶν τῆς ἁμαρτίας κηλίδων, ἀλλ' ἐνοικήσας τῇ τῆς ἁγίας ἐνδόξου „ Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας μήτρᾳ, προκαθαρθείσης τῷ Ἁγίῳ Πνεύ„ ματι, τὴν ψυχὴν σὺν τοῖς μέλεσιν, ὁ Λόγος Σὰρξ ἐγένετο, καὶ ἐσκήνω„ σεν ἐν ἡμῖν, ἃ μεταβαλὼν, τὴν αὐτοῦ Θεότητα εἰς ἀνθρωπότητα, ἄτ„ρεπτος γὰρ καὶ ἀναλλοίωτος ὁ τοῦ Θεοῦ Λόγος, ἀλλ' ἑνώσας ἑαυτῷ καθ„ ὑπόσασιν ἐκ τῶν σωλάγχνων τῆς ἀειπαρθένου Μαρίας, σάρκα ἔχουσαν, „ Ψυ-

(α) Ἐκ τούτου φαίνεται, πῶς ὁ Συγγραφεὺς τῆς παρούσης Ἐκκλησιαστικῆς Ἱστορίας, ἄρχησε τῷ αὐτῷ ἔτει, δηλαδὴ εἰς τοὺς 1709. νὰ συγγράφῃ τὴν παροῦσαν Ἱστορίαν, τὸ ὅλον ὅμως τοῦ θανάτου, τὸν ἐμπόδισε νὰ θεωρήσῃ ἐκ δευτέρου τὰ γεγραμμένα, διότι ἐτελεύτησεν εἰς τοὺς 1714. ὅθεν εἰς διάστημα τριῶν, ἢ τεσσάρων χρόνων, δὲν ἐδύνετο βέβαια νὰ ἐξακριβώσῃ τὸ ἔργον, διὸ ἐλλείπει, καὶ ἄτακτον εἰς πολλά. Ἐχρειάσθη λοιπὸν κόπον ἐλίγου, εἰς τοῦτο τὸ βραχὺ τοῦ καιροῦ τοῦ τύπου, ἵνα ἐξακριβωθῇ ὡς φαίνεται.